# In Christi natalem

## Τοῦ αὐτοῦ ἁγίου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου Εἰς τὴν τοῦ Χριστοῦ γένναν.

Φόβου γέμει καὶ φρίκης ἡ σήμερον ἡμέρα, καὶ πολλῆς ἐκπλήξεως καὶ χαρμονῆς ἀπείρου. Δεσπότης γὰρ ἐκ νύμφης παρθένου προέρχεται παράδοξον θάλαμον τὴν κόρην εὑράμενος. Ὁ γὰρ ἄνω [...] δίχα φθορᾶς γεννηθείς, οὗτος κάτω [...] δίχα σπορᾶς γεννᾶται. Καὶ ὁ ἄνω ἐν κόλποις [τοῦ] πατρὸς αὐλιζόμενος, οὗτος [ἐν] ἀγκάλαις μητρὸς παρθένου βαστάζεται. Εἴ τις 20οὖν20 κατανοήσει τὴν σήμερον ἡμέραν, [...] τρόμῳ συστέλλεται· φόβου γὰρ καὶ τρόμου γέμει, ὡς ἤδη προείρηται. Σήμερον τῆς ἀπιστίας τῶν Ἰουδαίων [ὁ] ἔλεγχος καὶ τῶν ἁπάντων [...] ἀπαρχὴ καὶ πρόοδος. Οἱ φύλλα ἐζωσμένοι καὶ φοροῦντες δέρματα, οὗτοι ἐν τῷ φορεῖσθαι αὐτὸν φοροῦσι Χριστόν.

Σήμερον οὖν χαρμονῆς ἡμέρα καὶ ταραχῆς· [ἔστι γὰρ] τῶν δαιμόνων πόλεμος· [καὶ τοῦ] διαβόλου θόρυβος· [Καὶ] τῶν εἰδώλων ὄλεθρος· τοῦ θανάτου θάνατος, καὶ τοῦ κόσμου παντὸς ἐκ τούτου ἐλευθερίας ἀρχή. Σὺ δέ μοι τὴν παρθένον (φολ. 49η) τὴν ἁγίαν ἴδε [...], καὶ σκόπησον τὸ πρᾶγμα, πῶς τυγχάνει ἄπειρον. Πῶς γὰρ οὐ διασπᾶται τὸν Κύριον φέρουσα· πῶς [γὰρ] αὐτῆς καὶ ἡ γαστὴρ ὅλως οὐ διαλύεται, Ἀλλὰ φέρει ἐν γαστρὶ τὸν κτίστην [...] [...] τῆς γαστρός, ὡς ἐπίσταται αὐτός. Καὶ εἰ δάκτυλον θεοῦ [βαστάσαι] οὐκ ἤνεγκεν Αἴγυπτος, πῶς ἤνεγκε παρθένος τοῦ θεοῦ <τὴν> δεξιάν; [Καὶ] εἰ ὁλκὴν οὐκ ἐβάστασε μικρὰν χρυσίου ἄνθρωπος, πῶς ἡ κόρη ἐβάστασε τοῦ Πατρὸς τὸν θησαυρόν; Εἰ δὲ ἦν καὶ τῷ Χριστῷ εἰς ὁμιλίαν ἐλθεῖν καὶ εἰπεῖν· «Ὅθ' ὑπῆρχες τῆς κόρης ἐγγάστριος, Οὐκ ἄμετρον εἶχες φύσιν καὶ σθένος ἀνίκητον; οὐκ ἔλεγές σου θρόνον ὑπάρχειν τὸν οὐρανόν; Καὶ ὅλως οὖν οὕτως ὑπάρχων ἀχώρητος τοῖς πᾶσιν, τὴν νηδὺν τῆς παρθένου ἔχεις ἐνδιαίτημα. Καὶ πῶς ὁ ἐν [τοῖς] κόλποις ὢν τοῦ ἀχράντου σου Πατρὸς κόρης ἀπειρογάμου ὑπάρχεις ἐγγάστριος;» «[Ναί, φησί], παρεφθάρη ὁ Ἀδάμ· κατεκλύσθη ὁ κόσμος· ἐφλέχθη τὰ Σόδομα· ἐπατήθη ὁ νόμος· Προφῆται ὑβρίσθησαν· οὐκ ἠκούσθην [ἐγὼ] ὁ θεός· ἐδέσποζεν ὁ δράκων· ἐκράτουν οἱ δαίμονες· Ὁ κόσμος ἀπώλλυτο· ἄγγελος σαρκωθῆναι καὶ σῶσαι οὐκ ἴσχυεν [...]. Διὰ τοῦτο [...]· ἐγὼ ἀναλαμβάνω τὴν τοῦ δούλου μορφήν [...] [...].»

Ὢ τοῦ θαύματος [...]· ἐκπλήττομαι καὶ φρίττω ὑπὸ τοσούτων θαυμάτων τὸν νοῦν κυματούμενος. Ἐκεῖνο μόνον εἰπεῖν ἱκανὸς εὑρίσκομαι τό· Ὢ 20βάθος καὶ πλούτου καὶ σοφίας καὶ γνώσεως20 θεοῦ.» Καὶ τοῦτο γὰρ ἐξαίσιον καὶ σφόδρα παράδοξον· καὶ μήτηρ καὶ παρθένος ἡ κόρη εὑρίσκεται. Οὐ σπείρεται καὶ γεννᾷ· οὐκ ἀροῦται καὶ τίκτει· οὐκ ἀναμένει πάθος· οὐκ ἐκδέχεται φθοράν. Οὐ τὸν φθαρτὸν [...] [...] ἐκδεχομένη χαυνοῦται τοῖς μέλεσιν, Ὅτι μετὰ τὸ γεννῆσαι ἀσπόρως τὸν Κύριον τοσοῦτον ὅσον τοῦ Κυρίου ἀθαλαμεύτου παιδός ... Ἀληθῶς 20ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ20 [...] [...] 20ἐποίησας20». Λογίζου [δέ] μοι [καὶ] τὸν Ἀδὰμ χορεύειν φορούμενον καὶ πολλὰ ὀνειδίζειν τὸ θηρίον [...] [Καὶ] χαιρόμενόν τι λέγειν· «Παμπόνηρε, τί ὤνησας συλήσας με; Τί ποτε ἐπραγματεύσω συλήσας με;» ......... Ἴδε· ὁ φύλλα συκῆς περὶ τὴν ὀσφὺν φορῶν καὶ <τοὺς> χιτῶνας νεκροῦ ἐνδεδυμένος τὸ πρίν, Ἴδε νῦν φορούμενον τὸν ζῳοποιοφόρον· πόθεν, φησίν, τοσαύτη δέδοται παρρησία; Πόθεν, «20Κύριος εἶπεν πρὸς μέ· Υἱός μου εἶ σύ;20 [...] Ἵνα γὰρ τῇ [ἁγίᾳ] Παρθένῳ τὴν γένναν λογίζεσθε καὶ νομίσητε μητέρα ἀληθινὴν τῆς σαρκός, Σημαίνω νῦν τὸν ἐμὸν Κύριον [...]· αὐτὸς γὰρ καὶ τῆς [μακαρίας] Μαρίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τυγχάνει δημιουργός. [Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν].


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.